ἀνεγκλήτους ἐν τῇ ἡμέρᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ [Χριστοῦ]. 9 πιστὸς
ὁ θεὸς δι᾽ οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ
τοῦ κυρίου ἡμῶν.

Mark 13:24-37

24 Ἀλλὰ ἐν ἐκείναις ταῖς ἡμέραις μετὰ τὴν θλῖψιν ἐκείνην
**ὁ ἥλιος σκοτισθήσεται,**
**καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς,**
25 **καὶ οἱ ἀστέρες ἔσονται** ἐκ τοῦ οὐρανοῦ **πίπτοντες,**
**καὶ αἱ δυνάμεις αἱ ἐν τοῖς οὐρανοῖς** σαλευθήσονται.
26 καὶ τότε ὄψονται **τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν νεφέλαις**
μετὰ δυνάμεως πολλῆς καὶ δόξης. 27 καὶ τότε ἀποστελεῖ τοὺς
ἀγγέλους καὶ ἐπισυνάξει τοὺς ἐκλεκτοὺς [αὐτοῦ] ἐκ τῶν τεσσάρων
ἀνέμων ἀπ᾽ ἄκρου γῆς ἕως ἄκρου οὐρανοῦ. 28 Ἀπὸ δὲ τῆς συκῆς
μάθετε τὴν παραβολήν· ὅταν ἤδη ὁ κλάδος αὐτῆς ἁπαλὸς γένηται καὶ
ἐκφύῃ τὰ φύλλα, γινώσκετε ὅτι ἐγγὺς τὸ θέρος ἐστίν· 29 οὕτως καὶ
ὑμεῖς, ὅταν ἴδητε ταῦτα γινόμενα, γινώσκετε ὅτι ἐγγύς ἐστιν ἐπὶ
θύραις. 30 ἀμὴν λέγω ὑμῖν ὅτι οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη μέχρις οὗ
ταῦτα πάντα γένηται. 31 ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ
λόγοι μου οὐ μὴ παρελεύσονται. 32 Περὶ δὲ τῆς ἡμέρας ἐκείνης ἢ τῆς
ὥρας οὐδεὶς οἶδεν, οὐδὲ οἱ ἄγγελοι ἐν οὐρανῷ οὐδὲ ὁ υἱός, εἰ μὴ ὁ
πατήρ. 33 βλέπετε, ἀγρυπνεῖτε· οὐκ οἴδατε γὰρ πότε ὁ καιρός ἐστιν. 34
ὡς ἄνθρωπος ἀπόδημος ἀφεὶς τὴν οἰκίαν αὐτοῦ καὶ δοὺς τοῖς δούλοις
αὐτοῦ τὴν ἐξουσίαν ἑκάστῳ τὸ ἔργον αὐτοῦ καὶ τῷ θυρωρῷ
ἐνετείλατο ἵνα γρηγορῇ. 35 γρηγορεῖτε οὖν· οὐκ οἴδατε γὰρ πότε ὁ
κύριος τῆς οἰκίας ἔρχεται, ἢ ὀψὲ ἢ μεσονύκτιον ἢ ἀλεκτοροφωνίας ἢ
πρωΐ, 36 μὴ ἐλθὼν ἐξαίφνης εὕρῃ ὑμᾶς καθεύδοντας. 37 ὃ δὲ ὑμῖν
λέγω πᾶσιν λέγω, γρηγορεῖτε.

# Year B, Advent 1 (RCL)

Isaiah 64:1-7,16-18

63:19 לוּא־קָרַעְתָּ שָׁמַיִם֙ יָרַדְתָּ מִפָּנֶיךָ הָרִים נָזֹלּוּ׃
64:1 כִּקְדֹחַ אֵשׁ הֲמָסִים מַיִם תִּבְעֶה־אֵשׁ לְהוֹדִיעַ
שִׁמְךָ לְצָרֶיךָ מִפָּנֶיךָ גּוֹיִם יִרְגָּזוּ׃ 64:2 בַּעֲשׂוֹתְךָ
נוֹרָאוֹת לֹא נְקַוֶּה יָרַדְתָּ מִפָּנֶיךָ הָרִים נָזֹלּוּ׃ 64:3
וּמֵעוֹלָם לֹא־שָׁמְעוּ לֹא הֶאֱזִינוּ עַיִן לֹא־רָאָתָה
אֱלֹהִים֙ זוּלָתְךָ יַעֲשֶׂה לִמְחַכֵּה־לוֹ׃ 64:4 פָּגַעְתָּ
אֶת־שָׂשׂ֙ וְעֹשֵׂה צֶדֶק בִּדְרָכֶיךָ יִזְכְּרוּךָ הֵן־אַתָּה
קָצַפְתָּ֙ וַנֶּחֱטָא בָּהֶם עוֹלָם וְנִוָּשֵׁעַ׃ 64:5 וַנְּהִי
כַטָּמֵא֙ כֻּלָּנוּ וּכְבֶגֶד עִדִּים כָּל־צִדְקֹתֵינוּ וַנָּבֶל
כֶּעָלֶה֙ כֻּלָּנוּ וַעֲוֹנֵנוּ כָּרוּחַ יִשָּׂאֻנוּ׃ 64:6 וְאֵין־קוֹרֵא
בְשִׁמְךָ מִתְעוֹרֵר לְהַחֲזִיק בָּךְ כִּי־הִסְתַּרְתָּ פָנֶיךָ֙
מִמֶּנּוּ וַתְּמוּגֵנוּ בְּיַד־עֲוֹנֵנוּ׃ 64:7 וְעַתָּה יְהוָה אָבִינוּ
אָתָּה אֲנַחְנוּ הַחֹמֶר֙ וְאַתָּה יֹצְרֵנוּ וּמַעֲשֵׂה יָדְךָ
כֻּלָּנוּ׃ 64:8 אַל־תִּקְצֹף יְהוָה֙ עַד־מְאֹד וְאַל־לָעַד
תִּזְכֹּר עָוֹן הֵן הַבֶּט־נָא עַמְּךָ כֻלָּנוּ׃